Κορράδος Γεσνῆρος Ἑρρίκῳ Στεφάνῳ
εὖ πράττειν.

Πρῶτα μὲν ἔγωγε ταῦτα τὰ σὰ γράμματα, φίλτατε Στέφανε, οὐδὲ πώποτε ἄλλα παρ' οὐδενὸς ἀνθρώπων ἑλληνιστὶ γεγραμμένα ἐκομισάμην· πρῶτον δὲ καὶ αὐτὸς ἐν τούτοις ἑλληνίζων καταλογάδην (ἐπὶ πολλὰ γὰρ νέος ἔτι ὀλίγ' ἄττα καὶ ἔμμετρα συνεταξάμην) ὃ καὶ σὺ οἶμαι ῥαδίως ἐμοὶ κἂν ἀνομολογῶν πιστεύσαις, ἐξ αὐτῆς τῆς ἀγροικίας καὶ ἀπειρίας τοῦ λόγου τεκμηράμενος. Ἀλλ' ὅμως τολμητέον καὶ ἀντιγραπτέον σοι τὴν αὐτὴν γλῶτταν, ἣν καὶ σὺ γράφων ὑπῆρξας τῇ λογιωτάτῃ ἐπιστολῇ σου, ἧς κομψοτάτη ἡ φράσις οὐ ζηλοῦν μόνον, ἀλλὰ καὶ ἐξισοῦν τὴν τῶν παλαιῶν καὶ ἀττικωτάτων ἀνδρῶν ἔοικε. Ψελλίσω γοῦν πρὸς σὲ καὶ σολοικίσω, ἱκανόν μοι τοῦτο ὑπολαβὼν τὰ παρ' ἐμοῦ λεγόμενα καταλαμβάνεσθαί σε καὶ ὁπωσδήποτε συνιέναι. Σὺ δ' ὦ βέλτιστε ἀγαπήσαις καὶ ταῦτα γῆς ἀπὸ ξένης καὶ βαρβαρικῆς, καὶ παρ' ἀνδρὸς ἀγνώστου, περὶ σοῦ ὡς ἀττικίζοντος οὐκ ὀρθῶς πεπεισμένος ἦσθα, ἀπολαβὼν, οἶσθα ἀμέλει τὴν παροιμίαν, συγγνώμη τῷ πρωτοπείρῳ· ταύτῃ κἀμοὶ ἅμα καὶ τῇ χρηστότητί σου πεποιθὼς (ἣν οὐχ ἧττον λογίοις καὶ τοῖς ἄλλοις ἅπασι τοῖς σπουδαίοις ἔμφυτόν πως ὑπάρχειν ἀκριβῶς γιγνώσκω) ἀποτολμήσω, καὶ καθόσον οἷός τε αὐτοσχεδίως ἑλληνίζειν πειράσομαι. Οὔτοι γὰρ πολὺν χρόνον οὐδὲ βραχύτατον εἰς τὴν τῶν γραπτέων εὐρυθμίαν καταναλίσκειν· καὶ ἄλλως πέφυκά πως ἐκ παιδίου, ὡς περὶ τὰ πράγματα μᾶλλον καὶ τὰ ὄντα, ἢ τὰ σημαίνοντα αὐτῶν τὰς λέξεις ἀσχολεῖσθαι. Ἀλλὰ καιρός μοι ἤδη τοῦ φροιμίου ἀπαλλαξαμένῳ ἐπὶ τὸ προκείμενον ἐλθεῖν. Πρῶτον μὲν οὖν πολλὴν χάριν οἶδα τῷ πατρί σου ἀνδρὶ ἀρίστῳ καὶ τῆς ἁπάντων φιλίας ἀξιωτάτῳ, ὑπὲρ τοῦ βιβλίου, ὅ με δωρεῖσθαι ἠξίωσε, χαριέστατόν μοι ἕως ἂν ἐνταῦθα βιώσομαι θεοῦ βουλομένου μνημόσυνον διὰ παντὸς ἐσομένοις. Ἔπειτα δὲ συγχαίρω πᾶσι τοῖς σπουδαίοις καὶ φιλολόγοις, ὅτι πλείστας τε καὶ καλλίστας βίβλους δι' ὑμετέρων ἔργων ὁσημέραι κερδαίνουσιν. Ὢ γενναίους καὶ ὠφελιμωτάτους πόνους, καὶ δόξαν ὑμῖν αἰώνιον ἀναμφιλόγως γεννησομένους. Ἐγὼ μὲν ὅσον ἀποδέχομαι τὰ εἰς ἀνθρώπινον βίον δι' ἱστοριῶν τε καὶ τῆς τῶν ὄντων γνώσεως καὶ διαλέκτων χρήσιμα συγγράμματα, οἷά περ πλεῖστα τὰ παρ' ὑμῶν ἐκδοθέντα ὑπάρχει· τοσοῦτον πάλιν ἀποστυγῶ καὶ μυσάττομαι τὰ ἐναντία, τὰ ἀναιδῆ, τὰ ἐρωτικά, τὰ

τ

τῶν ποιητῶν ἀσεβῆ καὶ ἄχρηστα, καὶ ἄλλας τοιαύτας λέσχας, οὐ νεανι-
κῇ μόνον ἀλλὰ πάσῃ σχεδὸν ἡλικίᾳ βλαβεράς, καὶ τοσούτῳ χείρους, ὅσῳ
κομψοτέραις ταῖς λέξεσι καὶ εὐρυθμότερον συντάττονται. Ἀλλ᾽ ὑμεῖς
τὰ πρὸς θείαν τε καὶ ἀνθρωπίνην παιδείαν μάλιστα συντελοῦντα τῶν
βιβλίων ἐντυποῦντες εὖ καὶ καλῶς, θεοῦ εὐτυχίαν ἀεὶ ἐπιδωρουμένου,
προχωρεῖτε· καὶ τὰ τῆς εὐσεβείας, ὅσον ἐν ὑμῖν, ἐπιμελῶς αὐξάνε-
τε. Ταῦτα μὲν ταύτῃ, νῦν δὲ πρὸς τὰ λοιπὰ τῆς ἐπιστολῆς
σου ἥκω. Παλαιῶν καὶ γεγραμμένων βιβλίων οὐδεμία τὸ παράπαν
ἐνθάδε ἡμῖν εὐπορία· ὥστε οὐδὲν ὅσον πρὸς τὰς τοῦ Δίωνος διορθώσεις
σοι ὑπισχνοῦμαι. Οἶδα μὲν τὰς αὐτοῦ ἱστορίας ἐν Ἰταλικαῖς
τισὶ βιβλιοθήκαις, καὶ ἔτι ἐν Αὐγούστᾳ τῇ Ῥαιτικῇ μετ᾽ ἄλλων τινῶν
βιβλίων δημοσίᾳ τηρεῖσθαι· οὗτοι δὲ ἅπαντες ἀγεννεῖς καὶ ἀνε-
λεύθεροί εἰσι, κύνες (τὸ λεγόμενον) ἐν φάτναις, ὥστ᾽ ἐμὲ πάντως
ἀνέλπιστον τοῦ ἐπιτυχεῖν αὐτῶν διατελεῖν. Ἰωάχειμον τὸν Κα-
μεράριόν φασι σύνταγμά τι οὐ σμικρὸν περὶ τῶν τοῦ ἀνθρωπίνου
σώματος μορίων γεγραφέναι, καὶ ἐν Βασιλείᾳ οὐκ οἶδα πότε ἐκτυπωθη-
σόμενον, ὑπόθεσιν οἶμαι ἔχον οὐ φυσικὴν οὐδ᾽ ἰατρικήν, ἀλλὰ φιλολο-
γικήν, καὶ παντοδαπῆς ἀναγνώσεως. Καὶ περὶ τούτου μὲν εἰ ἄλλοτε ἀκρι-
βέστερόν τι γνούς, πάλιν πρός σε ἐπιστελῶ· νῦν δὲ διὰ τὸ πλῆθος
τῶν πραγμάτων οἷς ἀσχολοῦμαι, τελευτῶ τὴν ἐπιστολήν. Ἔρρωσο.

Πρὸς Ἑρρῖκον Στέφανον Κορράδου
Γεσνήρου ἑξάστιχον.

Οὔτοι ἐτὸς γένει ὑμετέρῳ στέφος οὔνομα κεῖται,
Εὐθαλές, ὄζον ἴων, πορφυρέων τε ῥόδων.
Παιδείαν δ᾽ ἀρετήν τε ἀνέξοχα πρηῢς ἔδωκε
Χριστὸς ἔχειν ὑμῖν, δόξαν ἐϋστέφανον.
Οὕτως ἁρμόζει τοῖς πράγμασιν οὔνομα μοῖρα
Γιγνομένοις ὄπιθεν πολλάκις εὐφραδέως.

Ἐν Τιγούρῳ τῇ τῶν Ἑλβεκίων πρωτευούσῃ πόλει,
σκιρροφοριῶνος μηνὸς μεσοῦντος, ἐν ἡμ. κυριακῇ
αφμη.

1548.